**ἐπιχοριαμβικόν**

– ⏑ – ⏓ – ⏑ ⏑ –

**1.** Aristid. Qvint. I 28 (p. 51. 7 sqq. Winnington-Ingram) γίνεται δὲ καὶ κατ᾽ ἀντιπάθειαν μέτρα δύο· ὧν τὸ μὲν ἐπιωνικὸν καλεῖται, … (12 sqq.) τὸ δὲ ἐπιχοριαμβικόν, ὅτε τροχαικῆς προκειμένης διποδίας ἐπιφέρεται χοριαμβική, οἰκειότητα πρὸς τὴν ἐναντίαν τοῦ τροχαικοῦ τὴν ἰαμβικήν, ὡς προειρήκαμεν, ἔχουσα.

Choerob. 243. 2 sqq. ὅταν δὲ τὸ χοριαμβικὸν λάβῃ τὰς τροχαικὰς ἢ τὸ ἰωνικὸν τὰς ἰαμβικάς, καλοῦνται κατὰ ἀντιπάθειαν. καὶ ὅταν μὲν τὸ χοριαμβικὸν κατ᾽ ἀρχὴν λάβῃ τὸ τροχαικόν, ἐπιχοριαμβικὸν καλεῖται.

Tzetz. *de metr. Pind.* 35. 18 sqq.
ὅτε δὲ μῖξις γίνεται ἀπᾴδουσα τῷ μέτρῳ
καὶ μίγνυνται παρά τισιν ᾀσματογράφοις μέτρα,
ἀντίσπαστος ἰωνικῷ, χοριάμβῳ τροχαῖος,
ἅπερ οὐχὶ συνήρχοντο, ἀλλ᾽ ἐναντία ἦσαν·
χαίρει γὰρ ὁ χορίαμβος ἰάμβοις, οὐ τροχαίοις,
χαίρει δὲ ὁ ἀντίσπαστος ἰωνικοῖς οὐδόλως
ὡς ἔχουσι συγγένειαν τούτοις πρὸς τοὺς τροχαίους·
ὁ δέ γε μὴν ἀντίσπαστος τοῖς ἰαμβείοις χαίρει,
καθώσπερ σοι ἐλέξαμεν ἐν τοῖς οἰκείοις τόποις·
ὅτε τοιαύτη γίνεται ἀνοίκειός τις μῖξις,
μῖξιν κατ᾽ ἀντιπάθειαν οἱ τεχνικοὶ καλοῦσιν,
ἐναντίως, ἀντιπαθῶς ὡς τῶν ποδῶν κειμένων.
εἰ τοίνυν ἐπιφέρεται χορίαμβος τροχαίοις,
οὐδόλως χοριαμβικὸν οὐ λέγομεν τὸ μέτρον,
ἀλλ᾽ ἐπιχοριαμβικόν, ὡς ὂν μετὰ τροχαίους·
ἐπὶ τροχαίοις κεῖται γὰρ χορίαμβος παρ᾽ ἔθος.

Tzetz. *de metr. Pind.* 81. 16 sqq.
τὸ πρῶτον μὲν τροχαικὸν ἐπίτριτος καλεῖται,
ὡς περὶ τούτου εἴπαμεν τοῖς ἀνωτάτω τόποις.
ἴαμβον ἔχει δὲ αὐτὸ τέταρτον τελευταῖον.
ἀλλ᾽ ἐπιχοριαμβικόν, εἰ θέλεις, κάλει τοῦτο·
τροχαίοις ἐπιφέρεται χορίαμβός σοι μόνος
ἀνοικείοις ὑπάρχουσι πρὸς τὸν χορίαμβόν τε.

| τροχαικά | χορίαμβος |
|---|---|
| – ⏑ – ⏓ | – ⏑ ⏑ – |
| | – ⏑ ⏑ – |

Tzetz. *de metr. Pind.* 109. 14 sqq.
ὄγδοον ἐπιχοριαμβικὸν ἐκ διποδίας
πρώτης οὔσης τροχαικῆς· χορίαμβος εἶτά σοι
βραχεῖαν τὴν κατάληξιν ὡς λῆξιν κεκτημένος.

| τροχαικά | χορίαμβος |
|---|---|
| – ⏑ – ⏑ | – ⏑ ⏑ ⏓ |

Tzetz. *de metr. Pind.* 110. 7 sqq.
καὶ ἐπιχοριαμβικὸν ὑπάρχει ἐκ τροχαίων
τὸ κῶλον τὸ ἑνδέκατον· ἡ θέσις ἐνταυθοῖ σοι.
τροχαικόν χορίαμβος
– ◡ – – – ◡ ◡ –

Schol. vet. in Pind. *Ol.* 8 (p. 7. 15 sq. Tessier) τὸ α′ τροχαικὸν ἐπίτριτον, ἢ ἐπιχοριαμβικόν.

Schol. vet. in Pind. *Ol.* 13 (p. 11. 19 sq. Tessier) τὸ η′ ἐπιχοριαμβικόν, ἀπὸ τροχαικῆς διποδίας καὶ χοριάμβου, τῆς ‘καί’ βραχείας οὔσης διὰ τὴν κατάληξιν … (p. 12. 1 sq.) τὸ ια′ ἐπιχοριαμβικόν, ἢ τροχαῖος ἐπίτριτος ... (p. 12. 5) τὸ δ′ ὅμοιον τῷ ια′ τῆς στροφῆς.

Schol. rec. in Pind. *Ol.* 13 (p. 384. 16 sq. Abel) τὸ ια′ ἐπιχοριαμβικὸν ἐκ τροχαικῆς συζυγίας ἢ ἐπιτρίτου καὶ χοριάμβου … (p. 384. 23 sq.) τὸ δ′ προσοδιακὸν ἢ ἐπιχοριαμβικὸν ὅμοιον τῷ ια′ τῆς στροφῆς.

Schol. vet. in Pind. *Pyth.* 1 (p. 14. 3 sqq. Tessier) τὸ γ′ ἑνδεκασύλλαβον σαπφικόν, ᾧ τὸ πρῶτον ὅλον Σαπφοῦς γεγραμμένον <***>· ἔστι δὲ ἐπίτριτον τροχαικὸν <ἢ> ἐπιχοριαμβικὸν ἀκατάληκτον ... (p. 15. 3 Tessier) τὸ η′ ὅμοιον τῷ γ′ τῆς στροφῆς.

Schol. rec. in Pind. *Pyth.* 1 (p. 429. 9 sqq. Abel) τὸ γ′ ὀκτωσύλλαβον σαπφικόν, δίμετρον ἀκατάληκτον ἐκ τροχαικῆς συζυγίας καὶ χοριάμβου· καὶ ἔστιν ἐπιχοριαμβικόν.

Schol. vet. in Pind. *Pyth.* 3 (p. 16. 23 Tessier) τὸ ιβ′ ἐπίτριτον τροχαικὸν <ἢ> ἐπιχοριαμβικόν.

Schol. vet. in Pind. *Isthm.* 1 (p. 28. 20 sq. Tessier) τὸ ς′ <ἐπιχοριαμβικὸν> ἢ τροχαῖος ἐπίτριτος.

Schol. vet. in Pind. *Nem.* 10 (p. 27. 4 sq. Tessier) τὸ ς′ περίοδος, τροχαῖος ἐπίτριτος, ἢ ἐπιχοριαμβικὸν διὰ τὴν ἀπόδοσιν.

– ◡ ◡ – ◡ ◡ – –

**2.** Aristid. Qvint. I 28 (p. 51. 7 sqq. Winnington-Ingram) γίνεται δὲ καὶ κατ᾽ ἀντιπάθειαν μέτρα δύο· ὧν τὸ μὲν ἐπιωνικὸν καλεῖται, … (12 sqq.) τὸ δὲ ἐπιχοριαμβικόν, ὅτε τροχαικῆς προκειμένης διποδίας ἐπιφέρεται χοριαμβική, οἰκειότητα πρὸς τὴν ἐναντίαν τοῦ τροχαικοῦ τὴν ἰαμβικήν, ὡς προειρήκαμεν, ἔχουσα. ἐπιφέρεται δ᾽ αὐτῇ πολλάκις καὶ ἰωνική, ᾗ συμπέπονθε τῇ τροχαικῇ.

◡ – – ◡ – ◡ ◡ –

**3.** Aristid. Qvint. I 28 (p. 51. 7 sqq. Winnington-Ingram) γίνεται δὲ καὶ κατ᾽ ἀντιπάθειαν μέτρα δύο· ὧν τὸ μὲν ἐπιωνικὸν καλεῖται, … (12 sqq.) τὸ δὲ ἐπιχοριαμβικόν, ὅτε τροχαικῆς προκειμένης διποδίας ἐπιφέρεται χοριαμβική, οἰκειότητα πρὸς τὴν ἐναντίαν τοῦ τροχαικοῦ τὴν ἰαμβικήν, ὡς προειρήκαμεν, ἔχουσα. ἐπιφέρεται δ᾽ αὐτῇ πολλάκις καὶ ἰωνική, ᾗ συμπέπονθε τῇ τροχαικῇ· ἐπιφέρεται δὲ καὶ τῇ πρὸς αὐτὴν ἀντικειμένῃ, λέγω δὲ τῇ ἀντισπαστικῇ. αὔξεται δὲ καὶ ταῦτα μέχρι τετραμέτρων, καὶ τὰ μὲν αὐτῶν ἀκατάληκτα, τὰ δὲ καταληκτικὰ γίνεται.

Schol. vet. in Pind. *Nem.* 6 (p. 24. 16 sq. Tessier) τὸ η′ ἐπιχοριαμβικόν, ἐξ ἀντισπάστου καὶ χοριάμβου, ἀδιάφορον περὶ τὴν ἀρχήν.

– ⏑ ⏑ – – – – ⏑ ⏑ –

**4.** Tzetz. *de metr. Pind.* 124. 15 sqq.
τὸ ὄγδοον τροχαικὸν συνάμα χοριάμβῳ,
καὶ ἐπιχοριαμβικὸν καλεῖται σοι τὸ κῶλον.
ἀντὶ τροχαίου πρῶτος ποὺς δάκτυλος κεῖται ὧδε.
τροχαικόν χορίαμβος
– ⏑ ⏑ – – – ⏑ ⏑ –

– ⏑ – ⏓ – ⏑ ⏑ – ⏑ – ⏑̲

**5.** Hephaest. 43. 9 sqq. τῆς δὲ κατ᾽ ἀντιπάθειαν μίξεως νῦν τὰ πυκνότατα παραθησόμεθα. ἐπιχοριαμβικὸν μὲν οὖν τὸ σαπφικὸν καλούμενον ἑνδεκασύλλαβον, οἷον· (Sapph. 1. 1 Voigt)

ποικιλόθρον᾽ ἀθανάτ᾽ Ἀφρόδιτα·

τοῦτο δὲ τὴν μὲν πρώτην συζυγίαν ἔχει τροχαικὴν ἑξάσημον ἢ ἑπτάσημον, τὴν δὲ δευτέραν χοριαμβικήν, τὴν δὲ κατάκλειδα ἐξ ἰάμβου καὶ τῆς ἀδιαφόρου· ὥστε εἶναι τὰ πάντα δύο σχήματα περὶ τὴν τετάρτην συλλαβήν, πῆ μὲν βραχεῖαν γινομένην, πῆ δὲ μακράν. θάτερον μὲν οὖν σχῆμα, τό· (Sapph. 1. 1 Voigt)

ποικιλόθρον᾽, ἀθανάτ᾽ Ἀφρόδιτα

πρόκειται· θάτερον δέ· (Sapph. 1. 5 Voigt)

ἀλλὰ τυίδ᾽ ἔλθ᾽ αἴ ποτα κἀτέρωτα·

ὥστ᾽ εἶναι τὸν κανόνα τοιοῦτον·

βαβα βααβ αββ[α]
βαββ βααβ αβα[β]

ἔστι δὲ καὶ παρ᾽ Ἀλκαίῳ - καὶ ἄδηλον ὁποτέρου ἐστὶν εὕρημα, εἰ καὶ σαπφικὸν καλεῖται - οἷον· (Alc. 308. 1 Voigt)

χαῖρε Κυλλάνας ὂ μέδεις, σὲ γάρ μοι.

τοιούτοις χρῶνται τρισὶν εἰς ἑκάστην στροφήν· εἶτα ἐπιφέρουσι τὸ τέταρτον πεντασύλλαβον, χοριαμβικὸν πενθημιμερές, συνεμπίπτον δακτυλικῷ τῷ εἰς δεύτερον τροχαῖον, οἷόν ἐστι τό· (Sapph. 1, 4 Voigt)

πότνια θυμόν.

τοῦτο μὲν οὖν ἀπὸ τροχαικῆς ἐστὶν ἐπιχοριαμβικόν, ἀπὸ δὲ ἀντισπαστικῆς τὸ καλούμενον πινδαρικὸν ἑνδεκασύλλαβον.

Choerob. 249. 19 sqq. ἐνταῦθα περὶ τῶν παρὰ τοῖς ἀρχαίοις εὑρημένων μεμιγμένων, τῶν κατὰ ἀντιπάθειαν ἀλλήλων ὄντων μέτρων βούλεται διαλαβεῖν ὁ τεχνικός (*scil.* ὁ Ἡφαιστίων, p. 43. 9 sqq.), καὶ λέγει, ὅτι τὰ πυκνότατα, τουτέστι τὰ συνήθη ἐν τῇ χρήσει, παραφέρω. λέγει οὖν εἶναί τι μέτρον τὸ λεγόμενον ἐπιχοριαμβικόν, τουτέστι τὸ μὴ ἀπὸ χοριάμβου μόνον συγκείμενον, ἀλλ᾽ ἐπὶ τούτῳ καὶ ἀπὸ ἄλλων ποδῶν συντεθειμένον. καὶ λέγει τὸ ποῖον μετὰ παραδείγματος, τὸ καλούμενον καὶ σαπφικόν, τὸ ἑνδεκασύλλαβον, οἷον· (Sapph. 1. 1 Voigt)

ποικιλόφρον ἀθανάτ᾽ Ἀφρόδιτα.

ἔχει γὰρ τὴν πρώτην συζυγίαν τροχαικὴν ἑξάσημον ἢ ἑπτάσημον, τουτέστιν

ἐκ δύο τροχαίων συγκειμένην τρισήμων ὄντων, ἢ ἐκ τροχαίου καὶ σπονδείου, τουτέστι τρισήμου καὶ τετρασήμου, ὥστε εἶναι τὴν διποδίαν ἑπτάσημον· (ἰστέον γὰρ ὅτι ἡ ἑπτάσημος τροχαικὴ ἐπὶ τέλους ἔχει τὸν σπονδεῖον, ὥστ᾽ εἶναι τὴν τελευταίαν τοῦ διτροχαίου ἀδιάφορον, μακρὰν καὶ βραχεῖαν· μακρὰν μέν, ὅτε ἐστὶν ἑπτάσημος, βραχεῖαν δέ, ὅτε ἑξάσημος. ἡ δὲ ἰαμβικὴ ἐκ τοῦ ἐναντίου ἐπὶ τῆς ἀρχῆς)· καὶ ταῦτα μὲν ἐπὶ τῆς πρώτης συζυγίας. τὴν δὲ δευτέραν συζυγίαν ἔχει χοριαμβικήν, (οἱονεὶ τροχιαμβικὴν ὡς προέγνωμεν τὴν ἐκ τροχαίου καὶ ἰάμβου συγκειμένην, οἱονεὶ ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς), ἑξάσημον. τὴν δὲ κατακλεῖδα, τουτέστι τὴν ἐσχάτην συζυγίαν (τρίμετρον γὰρ ὑποτίθεται τὸ μέτρον), ἔχει ἐξ ἰάμβου καὶ ἐσχάτης συλλαβῆς ἀδιαφόρου οὔσης, τουτέστι πῆ μὲν μακρᾶς πῆ δὲ βραχείας.

Schol. rec. in Pind. *Ol.* 8 (p. 281. 12 sqq. Abel) τὸ δ′ ἐπιχοριαμβικὸν ἑνδεκασύλλαβον, ὃ καλεῖται σαπφικόν, διὰ τὸ ἔχειν τὸν α′ πόδα τροχαικὸν ἑπτάσημον ἤτοι ἐπίτριτον. οὐ γάρ ἐστι πινδαρικόν, ὡς λέγουσι.

Schol. A in Hephaest. 169. 17 sqq. ἑκατέρα μὲν γὰρ τῶν ᾠδῶν κατὰ σύστημα γέγραπται, διάφορον δὲ ἔχει μέτρον, ὡς ἡ πρώτη πρὸς τὴν δευτέραν· ἡ μὲν γὰρ πρώτη ἐκ τοῦ παιωνικοῦ σύγκειται, ἡ δὲ δευτέρα ἐκ τοῦ ἐπιχοριαμβικοῦ· εἴ τις οὖν μίξειεν ἀμφοτέρας τὰς ᾠδὰς οὔσας συστηματικάς, εἴποι ἂν τὸ μέτρον ἐκ μικτῶν συστηματικῶν συγκεῖσθαι· καὶ ἔστι τῆς μὲν πρώτης ᾠδῆς ἀρχή· (Alc. 307a Voigt)

ὦ ᾽ναξ Ἄπολλον παῖ μεγάλω Διός

ἐπιωνική· τῆς <δὲ> δευτέρας· (Alc. 308. 1 Voigt)

χαῖρε Κυλλάνας ὄ μέδεις. σὲ γάρ μοι

ἐπιχοριαμβική.

⏑ – – ⏑ – ⏑ ⏑ – ⏑ – ⏓

**6.** Hephaest. 43. 9 sqq. τῆς δὲ κατ᾽ ἀντιπάθειαν μίξεως νῦν τὰ πυκνότατα παραθησόμεθα. ἐπιχοριαμβικὸν μὲν οὖν τὸ σαπφικὸν καλούμενον ἑνδεκασύλλαβον, οἷον· (Sapph. 1. 1 Voigt)

ποικιλόθρον᾽ ἀθανάτ᾽ Ἀφρόδιτα·

… (44. 12 sqq.) τοῦτο μὲν οὖν ἀπὸ τροχαικῆς ἐστὶν ἐπιχοριαμβικόν, ἀπὸ δὲ ἀντισπαστικῆς τὸ καλούμενον πινδαρικὸν ἑνδεκασύλλαβον.

Epit. hephaest. 362. 12 sqq. δέχεται τὸ πινδαρικὸν ἐπιχοριαμβικὸν κατὰ τὴν πρώτην χώραν ἀντίσπαστον, κατὰ τὴν δευτέραν χορίαμβον, κατὰ τὴν τρίτην ἴαμβον καὶ συλλαβὴν ἀδιάφορον, ὡς εἶναι τὸ ὅλον ἑνδεκασύλλαβον, οἷον· (Pind. fr. 94c. 1 Snell-Maehler)

ὁ μουσαγέτας με καλεῖ χορεῦσαι.

× × × × – ⏑ ⏑ – × × × × – ⏑ ⏓

**7.** Schol. vet. in Aristoph. *nub.* 518e (p. 117. 14 sqq. Holwerda) παράβασις (ἢ καὶ ἀνάπαιστος· ἔστι δὲ τὸ μέτρον ἀσύστατον) στίχων με′. τὸ δὲ μέτρον καλεῖται εὐπολίδειον· ἔστι δὲ <ἐπιχοριαμβικόν, οὗ τὸ τροχαικὸν μέρος> οὐ κατὰ τάξιν δέχεται τοὺς σπονδείους, ἀλλ᾽ ἔστι τὸ ὅλον καθαρὸν ἀντισπαστικόν EMRsNp. [*L.S.*]